ἀποδιδόναι, reddere, I, 63, 3, *τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Ποτιδαιάταις.* 107, 2, *τὴν πόλιν*, urbem captam. 115, *Νίσαιαν.* 134, 4, *δύο σώματα ἀνθ' ἑνὸς τῇ Χαλκιοίκῳ.* II, 5, 5, *αὐτοῖς τοὺς ἄνδρας*, captivos. *item Ib.* 6. 6, *τοὺς νεκροὺς ὑποσπόνδους... τοῖς Θηβαίοις.* 29, 6, *Θέρμην αὐτῷ.* 72, 3, *ἀποδώσομεν ὑμῖν ἃ ἂν παραλάβωμεν.* 92, 4, *τοῖς ἐναντίοις τὰ ἐκείνων ὑπόσπονδα.* III, 52, 2, *ὅσα πολέμῳ χωρία ἔχουσιν ἑκάτεροι, ἀποδίδοσθαι.* 109, 2, *νεκρούς.* 114, 3, *ὁπόσα... ἔχουσι.* IV, 14, 5, *νεκρούς.* 16, 2, *τὰς ναῦς... Ἀθηναίους ὁμοίας οἵαςπερ ἂν παραλάβωσι.* 21, *τοὺς ἄνδρας.* *Ib.* 3. *Νίσαιαν.* 23. 52, 2, *αἱροῦσι Ῥοίτειον, καὶ... ἀπέδοσαν πάλιν.* 72, 4, *ὑποσπόνδους (τοὺς νεκρούς).* 98, 7, *τοὺς νεκρούς.* 101. *Ib.* 4, *τοὺς νεκροὺς ὑποσπόνδους.* 117, *τοὺς ἄνδρας σφίσι.* V, 11, 2, *τοὺς νεκροὺς τοῖς Ἀθηναίοις.* 14, 4, *αὐτοῖς τὴν Κυνουρίαν γῆν.* 17, 2, *ἃ ἑκάτεροι πολέμῳ ἔσχον.* 18, 5, *Ἀθηναίοις... Ἀμφίπολιν.* *item Ib.* 7. *Ibid.* *Λακεδαιμονίοις Κορυφάσιον... καὶ τοὺς ἄνδρας.* *Ibid.* 21. 24, 2. 26, 2. 35, 3. *Ibid.* 4. 5. 6. 39, 3. 42. *Ibid.* *τοὺς ἄνδρας.* *Ibid.* 45, 2 (*de Alcibiade*), *Πύλον.* [*ubi est* efficere ut reddatur, *ut* 77.] 46, 2, *Πάνακτον ὀρθόν.* 49, 5. 50. 74, 2, *νεκροὺς ὑποσπόνδους.* 77. *Ibid.* 3, *αἴ τινα τοὶ Λακεδαιμόνιοι παῖδα ἔχοντι, ἀποδόμεν ταῖς πολίεσι πάσαις.* 80, 3. VI, 71, *τοῖς Συρακοσίοις... ὑποσπόνδους τοὺς νεκρούς.* 97, 5. 103. VIII, 76, 5, *σφίσι πάλιν τὴν πολιτείαν.* 106, 4, *νεκροὺς τοῖς ἐναντίοις ὑποσπόνδους.* — dare, concedere, I, 144, 2, *ὅταν κἀκεῖνοι ταῖς ἑαυτῶν ἀποδῶσι πόλεσι, μὴ σφίσι τοῖς Λακεδαιμονίοις ἐπιτηδείως αὐτονομεῖσθαι, ἀλλ' αὐτοῖς ἑκάστοις, ὡς βούλονται.* II, 71, 2, *Παυσανίας... ἀπεδίδου Πλαταιεῦσιν... αὐτονόμους οἰκεῖν.* III, 36, 5, *ἔνδηλον ἦν βουλόμενον τὸ πλέον τῶν πολιτῶν αὖθίς τινας σφίσιν ἀποδοῦναι βουλεύσασθαι.*

— **reddere** (*litteras*), VII, 10, *τὴν ἐπιστολήν*. — **referre** (*gratiam*), **rependere**, II, 40, 4, *ὁ ἀντοφείλων ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα, τὴν ἀρετὴν ἀποδώσων*. III, 63, 4, *τὰς ὁμοίας χάριτας μὴ ἀντιδιδόναι αἴσχρον μᾶλλον, ἢ τὰς μετὰ δικαιοσύνης μὲν ὀφειληθείσας, ἐς ἀδικίαν δὲ ἀποδιδομένας*. — **solvere, pendere**, I, 101, 3, *χρήματα ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι*. 117, 3, *χρήματα τὰ ἀναλωθέντα*. III, 46, 2, *τὴν δαπάνην*. 70, 5, *διὰ τὸ πλῆθος τῆς ζημίας, ὅπως ταξάμενοι ἀποδῶσιν*. IV, 65, *ἀργύριον τακτὸν τοῖς Συρακοσίοις*. 116, 2, *τὰς τριάκοντα μνᾶς τῇ θεῷ... ἐς τὸ ἱερόν*. V, 18, 5, *τὸν φόρον*. 50, *τὴν καταδίκην*. VII, 83, 2, *ὅσα ἀνάλωσαν χρήματα Συρακόσιοι ἐς τὸν πόλεμον*. *Ibid.* *μέχρι οὗ ἂν τὰ χρήματα ἀποδοθῇ*. VIII, 45, 6, *ἐντελῆ αὐτοῖς... τὸν μισθόν*. 58, 6, *τὰ χρήματα Τισσαφέρνει... ὁπόσα ἂν λάβωσι*.—*Transl.* **solvere** (*promissum*), II, 95, *δύο ὑποσχέσεις τὴν μὲν βουλόμενος ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι*.— **vendere**, IV, 62, 4, *τἀνδράποδα ἀπέδοσαν* [*Bekk. coniecit ἀπέδοντο*]. Med. **vendere**, I, 29, 5, *ὥστε τοὺς μὲν ἐπήλυδας ἀποδόσθαι, Κορινθίους δὲ δήσαντας ἔχειν*. 55, *τῶν Κερκυραίων ὀκτακοσίους, οἳ ἦσαν δοῦλοι, ἀπέδοντο*. VII, 87, 3, *τοὺς ἄλλους ἀπέδοντο*.

ἀποδιδράσκειν, **clam aufugere**, I, 128, 5, *ἀπέδρασαν αὐτόν*. IV, 46, 3, *ἐάν τις ἁλῷ ἀποδιδράσκων*. *Ib.* 5, *ὡς τάχιστα ἀποδρᾶναι* [*vulgo ἀποδιδράναι*]. V, 65, 5, *ὅτι ἀποδιδράσκοντας οὐδεὶς ἐπιδιώκει*. VII, 86, 4, *δείσαντες... μὴ χρημάτων δὴ πείσας τινὰς... ἀποδρᾷ*.

ἀποδιώκειν, **pellere**, III, 108, 2, *οἱ Ἀμπρακιῶται... ἐνίκων τὸ καθ' ἑαυτοὺς καὶ πρὸς τὸ Ἄργος ἀπεδίωξαν*. VI, 102, 3, *πρὸς τὸν κύκλον βοήθεια ἤδη κάτωθεν τῶν Ἀθηναίων, ἀποδιωξόντων* [*vulgo ἀποδιωξάντων*] *τοὺς ἐκεῖ, ἐπανῄει*.

ἀπόδοσις, **redditio**, V, 35, 2, *ὑπώπτευον ἀλλήλους... κατὰ τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν*. — **solutio**, VIII, 85, 3, *τοῦ μισθοῦ*.

ἀποδοχή, **receptio**, IV, 81, 2, *ὥστε τοῖς Λακεδαιμονίοις γίγνεσθαι... ἀνταπόδοσιν καὶ ἀποδοχὴν χωρίων*.

ἀποδύεσθαι, **vestem deponere**, I, 6, 5, *ἐς τὸ φανερὸν ἀποδύντες*.

ἀποζῆν, **vitam tolerare**, I, 2, 2, *νεμόμενοι τὰ αὑτῶν ἕκαστοι ὅσον ἀποζῆν*.

ἄποθεν, **eminus**, II, 81, 8. [*nisi potius ἄπωθεν, ut in ceteris locis, legendum est.*]

ἀποθήκη, apotheca, receptaculum, VI, 97, 5, *φρούριον ἐπὶ τῷ Λαβδάλῳ ᾠκοδόμησαν,... ὅπως εἴη αὐτοῖς... τοῖς τε σκεύεσι καὶ τοῖς χρήμασιν ἀποθήκη.*

ἀποθνήσκειν, mori, I, 112, 4, *Κίμωνος ἀποθανόντος.* 126, 10, *ὑπὸ λιμοῦ. Ib.* 11. 133, *ἐν ἴσῳ τοῖς πολλοῖς τῶν διακόνων.* 134, 3. 4. 138, 4, *φαρμάκῳ.* II, 52, 2, *νεκροὶ ἐπ' ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο.* 65, 6. III, 81, 5. 87, 3. IV, 101, 5. VI, 4. VII, 82, 2, *μήτε βιαίως, μήτε δεσμοῖς, μήτε τῆς ἀναγκαιοτάτης ἐνδείᾳ διαίτης.* 87, 2, *ἔκ τε τραυμάτων καὶ διὰ τὴν μεταβολὴν καὶ τὸ τοιοῦτον.* VIII, 48, 6, *ἄκριτοι καὶ βιαιότερον.* 50, *ἀξιῶν αὐτὸν ἀποθνήσκειν*, capite multari. 84, 5, *νόσῳ.* 92, 2, *πληγεὶς... ἀπέθανε παραχρῆμα.* — occidi, I, 9, 2, *Εὐρυσθέως... ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος.* 20, 2, *Ἵππαρχον οἴονται ὑφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος... ἀποθανεῖν.* III, 58, 4, *ὑπὸ Μήδων.* 81, 4. 96, *ἐν ᾧ Ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν ταύτῃ ἀποθανεῖν.* IV, 107, 3, *Πιττακοῦ... ἀποθανόντος ὑπὸ τῶν Γοάξιος παίδων καὶ Βραυροῦς τῆς γυναικὸς αὐτοῦ.* VI, 55, 3. — in acie cadere, I, 63, 3. II, 22, 2. 69, 2. 79, 7. III, 18, 2. 67, 3. 98. *Ib.* 4. *Ibid.* 108, 3. IV, 35, 2. 38, 3. *Ibid.* 40. 44, 2. 6. 56. 68, 2. 100, 5. 101, 2. V, 10, 9. 11, 2. 51, 2. 74, 3. *Ibid.* VI, 71. *Ibid.* 97, 4. 101, 6. VII, 24, 2. 30, 2. 45, 2. 85, 4. VIII, 10, 4. 34. 55, 3. — *ἀποθανόντες*, mortui, occisi, II, 34, *ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ πρῶτον ἀποθανόντων.* III, 109, 2, *τοὺς ἑαυτῶν τριακοσίους μάλιστα ἀποθανόντας ἀνείλοντο.* 113, 6, *ἀριθμὸν οὐκ ἔγραψα τῶν ἀποθανόντων.*

ἀποικεῖν, longius habitare, III, 55, *πρὸς Ἀθηναίους ἐκελεύετε τραπέσθαι, ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν ἀποικούντων.*

ἀποικία, colonia, I, 25, 2. 3. 4. 26, 2. 3. 27, *μετέχειν... τῆς ἀποικίας*, 28, 2. 30, 2, *ἐς Λευκάδα, τὴν Κορινθίων ἀποικίαν.* 34, *πᾶσα ἀποικία εὖ μὲν πάσχουσα τιμᾷ τὴν μητρόπολιν, ἀδικουμένη δὲ ἀλλοτριοῦται.* 38, 3. 66. III, 102, 2. IV, 7. 75, 2. 84. 88, 2. 102. 104, 4. 107; 3. 109, 3. 123. V, 6. *Ibid.* 11, *τὴν ἀποικίαν ὡς οἰκιστῇ προςέθεσαν.* VI, 5, *ἦλθον ἐς τὴν ἀποικίαν.* — *ἀποικίαν ἐκπέμπειν*, coloniam deducere, I, 2, 6, *ἐς Ἰωνίαν.* 12, 4. III, 92, 4. — *καθίστασθαι*, constituere, III, 92. — *κηρύσσειν*, deducendam edicere, I, 27. — *ἄγειν*, ducere, VI, 4.

ἀποικίζειν, missa colonia condere (*urbem*), I, 24, 2.

ἀποικοδομεῖν, obstruere, obsepire, I, 134, 2, *τὰς θύρας.* VII, 73, *τὰς ὁδούς.*

ἄποικος, colonus, I, 25, 3, αὐτῶν παρημέλουν, ὄντες ἄποικοι. 34. 38. *Ib.* 3. 56, 2. II, 66. 80, 3. III, 88, 2, Λιπαραῖοι... Κνιδίων ἄποικοι ὄντες. IV, 103, 3. V, 5, 3. 84, 2. 89. 96. 106. 116, 4, ἀποίκους... πέμψαντες. VI, 6, 2, ἄποικοι τοῖς ἐκπέμψασι Πελοποννησίοις βοηθήσαντες. 76, 2. VII, 57, 2. 6. *Ibid.* 7. 9, μὴ ξὺν τοῖς ἀποίκοις, ἀλλ' ἐπὶ τοὺς ἀποίκους. VIII, 61.

ἀποκάθαρσις, egestio, II, 49, 3, ἀποκαθάρσεις χολῆς πᾶσαι, ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσίν.

ἀποκαυλίζειν, decutere, II, 76, 4, ἡ δὲ (δοκὸς), ῥύμη ἐμπίπτουσα, ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς.

ἀποκινδυνεύειν, periculum subire, VII, 81, 5, πρὸς ἀνθρώπους ἀπονενοημένους. Pass. in periculum committi, III, 39, 8, ἡμῖν πρὸς ἑκάστην πόλιν ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί.

ἀποκινδύνευσις, periclitatio, VII, 67, 4, τύχης.

ἀποκλῄειν [*vulgo* ἀποκλείειν], claudere, V, 80, 3, τὰς πύλας. — intercludere, VI, 64, 3, τοὺς παρὰ σφίσι, quominus exirent. VIII, 104, 4, τοῦ ἔξω αὐτοὺς ἔκπλου. Med. intercludere, VI, 101, 4, αὐτοὺς βουλόμενοι ἀποκλῄσασθαι τῆς διαβάσεως. Pass. occludi, III, 109, ἔκ τε γῆς καὶ ἐκ θαλάσσης ταῖς Ἀττικαῖς ναυσὶν ἀποκεκλῃμένοι [*vulgo* ἀποκεκλεισμ.]. V, 60, 2, πανταχόθεν... καὶ ὑπὸ ἱππέων καὶ πεζῶν. VIII, 42, 3, πανταχόθεν. 95, 2, ἀποκεκλῃμένης [*vulgo* ἀποκεκλεισμ.] τῆς Ἀττικῆς. — excludi, II, 76, 2, ταύτῃ. IV, 34, 3, τῇ ὄψει τοῦ προορᾶν. VI, 34, 6, ἔγωγε τούτῳ τῷ λογισμῷ ἡγοῦμαι ἀποκλῃομένους αὐτοὺς οὐδ' ἂν ἆραι ἐκ τῆς Κερκύρας.

ἀποκληροῦν, sorte legere, IV, 8, 9, ὁπλίτας... ἐκ πάντων τῶν λόχων. VIII, 70, οἱ τετρακόσιοι πρυτάνεις σφῶν αὐτῶν ἀπεκλήρωσαν.

ἀπόκλησις [*vulgo* ἀπόκλεισις], obstructio, VII, 60, τοῖς Ἀθηναίοις, τὴν ἀπόκλησιν ὁρῶσι,... βουλευτέα ἐδόκει. — interclusio, VI, 99, 2, ὑποτειχίζειν ἄμεινον ἐδόκει εἶναι, ᾗ ἐκεῖνοι ἔμελλον ἄξειν τὸ τεῖχος, καὶ εἰ φθάσειαν, ἀποκλῄσεις γίγνεσθαι. — exclusio, IV, 85, 3, θαυμάζω τῇ ἀποκλῄσει μου τῶν πυλῶν.

ἀποκνεῖν, detrectare, III, 30, 4, τὸν κίνδυνον. VI, 92, 5, τὴν ἐς τὴν Σικελίαν τε καὶ ἐς τὴν Ἀττικὴν στρατείαν. VIII, 12, τὸν πλοῦν. — metu desistere, III, 20, 2, ἔπειτα οἱ ἡμίσεις ἀπώκνησάν πως, τὸν κίνδυνον μέγαν ἡγησάμενοι. — cunctari, III, 55, 3, ἐκεῖνοι ἐβοήθουν ἡμῖν ἐναντία Θηβαίοις, ὅτε ὑμεῖς ἀπωκνεῖτε. IV, 11, 4, ὁρῶν... τοὺς τριηράρχους καὶ κυβερνήτας...

ἀποκνοῦντας, καὶ φυλασσομένους τῶν νεῶν, μὴ ξυντρίψωσιν. Ibid. *μὴ ἀποκνῆσαι... τὰς ναῦς τοῖς Λακεδαιμονίοις... ἐπιδοῦναι.* VI, 18, *τί ἂν λέγοντες εἰκὸς... ἀποκνοῖμεν;* VII, 21, 4, *ἰέναι ἐκέλευεν ἐς τὴν πεῖραν τοῦ ναυτικοῦ, καὶ μὴ ἀποκνεῖν.*

ἀπόκνησις, **detrectatio**, I, 99, 3, *τῶν στρατειῶν.*

ἀποκολυμβᾷν, **enatare**, IV, 25, 4, *μίαν ναῦν αὐτοὶ ἀπώλεσαν, τῶν ἀνδρῶν ἀποκολυμβησάντων.*

ἀποκομιδή, **receptus**, I, 137, 4, *ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ μὲν ἐμοί, ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ πάλιν ἡ ἀποκομιδὴ ἐγίγνετο.*

ἀποκομίζειν, **abducere**, VII, 82, 3, *τούτους εὐθὺς ἀπεκόμιζον ἐς τὴν πόλιν.* Pass. **reverti, se recipere**, III, 81. IV, 96, 9, *κατὰ θάλασσαν ἐπ' οἴκου.* item 100, 5. V, 10, 10, *ἐς τὴν Ἠιόνα.* VI, 52, 2, *ἐς Κατάνην.* VII, 26, 3, *ἐπ' οἴκου.* item VIII, 19, 4. 23, 6, *πάλιν κατὰ πόλεις.*

ἀπόκρημνος, **abruptus**, IV, 31, 2, *τῆς νήσου τὰ πρὸς τὴν Πύλον, ὃ ἦν ἐκ θαλάσσης ἀπόκρημνον.* VI, 36, *χωρίου ἀποκρήμνου.*

ἀποκρίνεσθαι, **respondere**, I, 28, 4, *οἱ Κερκυραῖοι ἀπεκρίναντο αὐτοῖς... βουλεύσεσθαι.* 53, 3, *τοιάδε.* 54, *τοιαῦτα.* 90, 3. 139, 3. 144, 2, *τούτοις ἀποκρινάμενοι ἀποπέμψωμεν, Μεγαρέας μὲν ὅτι ἐάσομεν κτέ.* Ibid. *ταῦτα δίκαια καὶ πρέποντα ἅμα τῇδε τῇ πόλει ἀποκρίνασθαι.* 145. II, 72, 2. 74. Ib. 2. III, 53, 2, *ᾧ (ἐρωτήματι) τὰ ἀληθῆ.* 61. *βραχέως τὸ ἐρωτηθέν.* 113, 4. IV, 21, 3, *ὡς χρή.* 40, 2. 99. Ibid. 101, *ταὐτά.* V, 32, 6. 42, 2, *χαλεπῶς πρὸς τοὺς πρέσβεις.* 85. 112, *τάδε.* 113, *τοσαῦτα.* VI, 50. 88, *ἴσα ἀμφοτέροις.* Ib. 2. VII, 3, 2, *οὐδέν.* 10, *εἴ τις ἠρώτα, ἀπεκρίνοντο* [*vulgo et in compluribus codd.* *ἀπεκρίναντο*]. VIII, 71, *οὐδὲν ξυμβατικόν.* 84, 2, *αὐθαδέστερόν τι.* 86, 6, *ἀποκρινάμενος αὐτοῖς ἀπέπεμπεν ὅτι κτέ.* Pass. **separari, discedere**, I, 3, 3, *οὐδὲ βαρβάρους εἴρηκε, διὰ τὸ μηδὲ Ἕλληνάς πω... ἐς ἓν ὄνομα ἀποκεκρίσθαι.* IV, 72, 4, *οὐ μέντοι ἔν γε τῷ παντὶ ἔργῳ βεβαίως οὐδέτεροι τελευτήσαντες ἀπεκρίθησαν, ἀλλ' οἱ μὲν Βοιωτοὶ πρὸς τοὺς ἑαυτῶν, οἱ δ' ἐπὶ τὴν Νίσαιαν.* — **secedere** (*in aliud*), **converti**, II, 49, *εἴ τις καὶ προέκαμνέ τι, ἐς τοῦτο πάντα ἀπεκρίθη.*

ἀπόκρισις, **responsio**, III, 60, *πρὸς τὸ ἐρώτημα.* IV, 22, *οἱ δὲ πρὸς τὴν ἀπόκρισιν οὐδὲν ἀντεῖπον.*

ἀπόκροτος, **asper**, VII, 27, 5, *ἐν γῇ ἀποκρότῳ.*

ἀποκρούεσθαι, **repellere**, II, 4, 2, *δὶς ἢ τρὶς ἀπεκρούσαντο.* IV, 115, 2, *μίαν ἡμέραν ἀπεκρούσαντο.* Pass. **repelli**, IV, 107, 2, *ἀμφοτέρωθεν ἀπεκρούσθη.* VII, 43, *πολλαχῇ προσβάλλοντες ἀπεκρούοντο.* VIII, 100, 3, *ἀποκρουσθέντες τῆς πείρας.*

ἀποκρύπτειν, **abscondere se, e conspectu abire**, V, 65, 5, *ἐπειδὴ ἀναχωροῦντες ἐκεῖνοί τε ἀπέκρυψαν, καὶ σφεῖς ἡσύχαζον.* Med. occultare, II, 53, *ῥᾷον ἐτόλμα τις ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν.* VII, 85, 2, *τοὺς λοιπούς, ὅσους μὴ ἀπεκρύψαντο,... ξυνεκόμισαν ζῶντας.*

ἀποκτείνειν, interficere, I, 20, 2, *τῷ Ἱππάρχῳ περιτυχόντες,... ἀπέκτειναν.* 30, *τοὺς ἄλλους οὓς ἔλαβον αἰχμαλώτους.* 53, 3. 126, 11. II, 5, 5, *τοὺς ἄνδρας.* *Ib.* 7. 67, 4, *πάντας.* *Ibid.* 90, 5. 92, 2. III, 28, *μηδένα.* 36. *Ib.* 2. 6. 41. 44, 2. 66, 2, *οὓς ἐν χερσὶν ἀπεκτείνατε.* 68. 82, 2. 6, *πατὴρ παῖδα ἀπέκτεινε.* 103, 2. 111, 4. 113. IV, 25, 9, *ὑπὲρ χιλίους.* *Ib.* 11. 28, 4, *ἢ ἄξειν Λακεδαιμονίους ζῶντας, ἢ αὐτοῦ ἀποκτενεῖν.* 41. 46, 4. 57, 4. 72, 4. 96, 3. 101, 4. 122, 6. V, 3, 2. 32, *τοὺς ἡβῶντας.* 59. 72, 3. 82, 2, *τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ ἐξήλασε.* 83, 2. 115, 4. 116, 4. VI, 57, 3. 60, 4. *Ibid.* 94, 2. 98, 4. 105, 3. VII, 3, 4. 23, 4. 30, 2. 41, 4. 43, 3. 53, 3. *Ibid.* 86, 4. VIII, 5, 5, *ἢ ζῶντα ἄξειν, ἢ ἀποκτείνειν.* 10, 4. 21. 24. 45. 65, 2, *κρύφα.* 70, 2. 73, 3. 6. 86, 2. 95, 7.—capite multare, VI, 29, *ἐπεμαρτύρετο μὴ ἀπόντος περὶ αὐτοῦ διαβολὰς ἀποδέχεσθαι, ἀλλ' ἤδη ἀποκτείνειν, εἰ ἀδικεῖ.* 61, 4, *βουλόμενοι αὐτὸν ἐς κρίσιν ἀγαγόντες ἀποκτεῖναι.*

ἀποκωλύειν, prohibere, I, 72, 2, *εἴ τι μὴ ἀποκωλύει.* III, 28, *οὔτ' ἀποκωλύσειν δυνατοὶ ὄντες.* VI, 88, 5, *ἐπὶ τους μὴ προςχωροῦντας οἱ Ἀθηναῖοι στρατεύοντες, τοὺς μὲν προςηνάγκαζον, τοὺς δὲ καὶ ὑπὸ τῶν Συρακοσίων, φρουρούς τε πεμπόντων καὶ βοηθούντων, ἀπεκωλύοντο* [*vulgo ἀπεκώλυον.*].

ἀπολαμβάνειν, recipere, IV, 99, *ἃ ἀπαιτοῦσιν.* V, 30, 2, *οὔτε Σόλλιον σφίσιν... παρ' Ἀθηναίων, οὔτε Ἀνακτόριον.* [*ubi* restituere *videtur esse, cf. Popp. adn. ad Schol.*] 35, 5, Πάνακτον. 36, 2, Πύλον. 39, 2, Πάνακτον... *παρὰ* Βοιωτῶν. VIII, 3, Οἰταίων ... *τῆς λείας τὴν πολλήν.*— intercipere, I, 134, 2, *ἔνδον ὄντα τηρήσαντες αὐτὸν, καὶ ἀπολαβόντες εἴσω.* II, 4, 6, *ὁρῶντες οἱ Πλαταιῆς αὐτοὺς ἀπειλημμένους.* 90, 4, *ἤλπιζον πάσας τὰς ναῦς ἀπολήψεσθαι.* IV, 14, 2, *ὅτι περ αὐτῶν οἱ ἄνδρες ἀπελαμβάνοντο ἐν τῇ νήσῳ.* *ib.* 5. 127, 2, *κυκλοῦνται ὡς ἀποληψόμενοι.* V, 8, 4, *αὐτοὺς... μεμονωμένους.* 59, 3, *ἐν μέσῳ ἀπειλημμένοι ἦσαν οἱ Ἀργεῖοι.* *ib.* 4. VI, 22, *ἥν που ὑπὸ ἀπλοίας ἀπολαμβανώμεθα.* 49, 3, *εἰκὸς εἶναι καὶ ἐν τοῖς ἀγροῖς πολλοὺς ἀποληφθῆναι* [*vulgo ἀπολειφθῆναι*] *ἔξω.* VII, 51, 2, *τῶν ὁπλιτῶν τινας.* 52, 2, *κἀκεῖνον ἐν τῷ κοίλῳ καὶ μυχῷ τοῦ λιμένος.* VIII, 13, (*νῆες*) *περὶ τὴν Λευκαδίαν ἀποληφθεῖσαι, καὶ κοπεῖσαι ὑπὸ τῶν Ἀττικῶν... νεῶν.*— ***inprimis est isthmum aliaque***

spatia angusta muris intercipere, *seiungere*, I, 7, τοὺς ἰσθμούς. IV, 45, 2, τὸν τῆς Χερσονήσου ἰσθμόν. 102, 4, τείχει μακρῷ... ἐκ ποταμοῦ ἐς ποταμόν. 113, 2, καταλαβόντες ἄκρον τῆς πόλεως ἐς τὴν θάλασσαν ἀπειλημμένον ἐν στενῷ ἰσθμῷ. 120, 3, τῆς Παλλήνης ἐν τῷ ἰσθμῷ ἀπειλημμένης ὑπὸ τῶν Ἀθηναίων. VI, 2, 6, ἄκρας τε ἐπὶ θαλάσσῃ... καὶ τὰ ἐπικείμενα νησίδια. VII, 60, 2, διατειχίσματι [*vulgo* διατείχισμά τι] ὅσον οἷόν τε ἐλάχιστον. — secernere, seligere, VI, 87, 3, καθ' ὅσον τι ὑμῖν τῆς ἡμετέρας πολυπραγμοσύνης καὶ τρόπου τὸ αὐτὸ ξυμφέρει, τούτῳ ἀπολαβόντες χρήσασθε.

ἀπολαύειν, frui, I, 70, 7, ἐλάχιστα τῶν ὑπαρχόντων. II, 53, 4, τοῦ βίου τι. VII, 27, 4, τῆς γῆς.

ἀπόλαυσις, usus, II, 38, 2, ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι, ἢ τὰ τῶν ἄλλων ἀνθρώπων. 42, 4, τὴν ἔτι ἀπόλαυσιν (τοῦ πλούτου) προτιμήσας.

ἀπολέγειν, eligere, IV, 70, 2, τριακοσίους τοῦ στρατοῦ. MED. *idem*, IV, 9, 2, ἐκ πάντων ἑξήκοντα ὁπλίτας. V, 8, 4, πεντήκοντα καὶ ἑκατὸν ὁπλίτας.

ἀπολείπειν, relinquere, I, 2, τὴν ἑαυτῶν. 104, 2, τὴν Κύπρον. II, 16, 2, οὐδὲν ἄλλο ἢ πόλιν τὴν αὑτοῦ. 81, Ναύπακτον ἐρήμην. VI, 30, 2, ἀλλήλους. 34, 5, τὴν παρασκευήν. VII, 75, 4, οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ἀπολειπόμενοι [*Vat.* ὑπολ.]. VIII, 45, 2, τὰς ναῦς. 83, 3. 103, 2, τὴν Ἔρεσον. [*pro* ὑπολ. VI, 102, 2.] — deserere (*stationem*), III, 21, 4, τὰς ἐπάλξεις. IV, 100, 4, ὥστε μηδένα ἔτι ἐπ' αὐτοῦ (τοῦ τείχους) μεῖναι, ἀλλ' ἀπολιπόντας ἐς φυγὴν καταστῆναι. 116, τὰς ἐπάλξεις. V, 3, αὐτὸ (τὸ τείχισμα). VIII, 15, τὴν φυλακήν. *Ibid.* τὴν ἐφόρμησιν. — relinquere (*foedus*), III, 9, ξυμμαχίαν τὴν πρίν. 64, 3, ἀπελίπετε [*vulgo* ἀπελείπ.] αὐτὴν (τὴν ξυνωμοσίαν). — absistere, III, 10, 2, ἀπολιπόντων ὑμῶν ἐκ τοῦ Μηδικοῦ πολέμου. V, 4, 4, ἐκ τῶν Συρακουσῶν. — omittere, VIII, 22, οὐδὲν... προθυμίας. — βραχὺ ἀπολείπειν, paulum abesse, VII, 70, 4, βραχὺ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι.

ἀπόλειψις, derelictio, IV, 126, πρὸς τὴν ἀπόλειψιν τῶν ἡμετέρων, quod nostri nos deseruerint. VII, 75, 2, τοῦ στρατοπέδου.

ἀπόλεκτος, electus, VI, 68, 2, πρὸς ἄνδρας πανδημεί τε ἀμυνομένους, καὶ οὐκ ἀπολέκτους ὥσπερ καὶ ἡμᾶς.

ἀπόληψις, interceptio, VII, 54, τῶν ὁπλιτῶν.

ἀπολισθάνειν, in lubrico labi, VII, 65, 2, τὰς πρώρας... κατεβύρσωσαν, ὅπως ἂν ἀπολισθάνοι καὶ μὴ ἔχοι ἀντιλαβὴν ἡ χεὶρ ἐπιβαλλομένη.

ἀπολλύναι, perdere, II, 63, 3, *τάχιστ' ἂν πόλιν οἱ τοιοῦτοι... ἀπολέσειαν*. VIII, 75, *τὰ πράγματα*. 92, 8, *τὴν πατρίδα*. — amittere, II, 25, 2, *ὀλίγους τινὰς... τῶν μεθ' ἑαυτοῦ*. 58, 3, *ἀπὸ τετρακισχιλίων ὁπλιτῶν χιλίους καὶ πεντήκοντα τῇ νόσῳ*. 65, 2, *καλὰ κτήματα*. IV, 25, 2, *μίαν ναῦν*. *Ib*. 4. 5. 75, 2, *τὰς ναῦς*. VI, 92, 4, *τὴν ἑαυτοῦ*, patria excidere. VII, 51, 2, *ἵππους ἑβδομήκοντα*. 75, 2, *τὰς ναῦς... πάσας*. VIII, 10, 3, *μίαν ναῦν*. 42, 4, *ἓξ ναῦς*. 76, 6, *οὐδέν*. 96, 2, *ναῦς τε καὶ... Εὔβοιαν*. 106, 3, *πεντεκαίδεκα ναῦς*. Med. perire, I, 110, *οἱ πλεῖστοι ἀπώλοντο*. 123, *οὐ δίκαιον, ἃ τῇ ἀπορίᾳ ἐκτήθη, τῇ περιουσίᾳ ἀπολέσθαι*. II, 4, 4, *ἄλλοι ἄλλῃ τῆς πόλεως σποράδην ἀπώλλυντο*. 51, 5, *ἀπώλλυντο ἔρημοι*. 53, 4, *πάντας ὁρᾷν ἐν ἴσῳ ἀπολλυμένους*. III, 57, 3, *Μήδων κρατησάντων ἀπωλλύμεθα* [*vulgo ἀπολλυμ.*]. 113, 6, *ἄπιστον τὸ πλῆθος λέγεται ἀπολέσθαι*. IV, 71, *φοβούμεναι... μὴ ἡ πόλις... ἀπόληται*. 133, *ἐν τῇ πρὸς Ἀθηναίους μάχῃ ὅ τι ἦν αὐτῶν ἄνθος ἀπολώλει*. VI, 57, 4, *Ἁρμόδιος αὐτοῦ παραχρῆμα ἀπόλλυται*. VII, 13, 2, *ὑπὸ τῶν ἱππέων*. 27, 5, *πρόβατα πάντα ἀπολώλει*. 28, 4, *αἱ πρόσοδοι ἀπώλλυντο*. 30, 2, *μέρος τι... ἀπώλετο*. 44, 8. 45, 2, *οἱ μὲν ἀπώλλυντο οἱ δ' ἐσώθησαν*. 71, 3, *ἢ διέφυγον, ἢ ἀπώλλυντο*. 72, *πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνθρώπων ἀπολομένων*. 75, 3, *οἱ ζῶντες καταλειπόμενοι... τῶν ἀπολωλότων ἀθλιώτεροι*. 87, 6, *πανωλεθρίᾳ... καὶ πεζὸς καὶ νῆες καὶ οὐδὲν ὅ τι οὐκ ἀπώλετο*. VIII, 55, 2, *ἀπολεῖται τὰ ἐν Χίῳ πράγματα*. 89, 3. — interfici, VII, 48, 4, *ἐπὶ αἰσχρᾷ τε αἰτίᾳ καὶ ἀδίκως ὑπὸ Ἀθηναίων ἀπολέσθαι*.

ἀπολογεῖσθαι, excusare se, I, 72, *τῶν ἐγκλημάτων πέρι*. III, 62, 6, *τὰ ἐς τὸν μηδισμὸν τοσαῦτα ἀπολογούμεθα*. V, 21, 3. 44, 3, *περὶ τῆς Βοιωτῶν ξυμμαχίας ἀπολογησόμενοι, ὡς οὐκ ἐπὶ κακῷ τῶν Ἀθηναίων ἐποιήσαντο*. VI, 29, *πρὸς τὰ μηνύματα*. 61, 5. VIII, 68, 2, *ἄριστα... θανάτου δίκην*. 85, 2, *περὶ αὐτοῦ*. 92, 6. 109, *ὅπως... τὰς διαβολὰς* [*in multis codd. additur ἀπώσηται*] *καὶ περὶ τῶν Φοινισσῶν νεῶν καὶ τῶν ἄλλων ὡς εὐπρεπέστατα ἀπολογήσηται*.

ἀπολογία, excusatio, III, 61, *περὶ αὐτῶν... καὶ ἅμα οὐδὲ ἠτιαμένων πολλὴν τὴν ἀπολογίαν* (*ἐποιήσαντο*). VI, 53, *κελεύσοντας ἀποπλεῖν ἐς ἀπολογίαν ὧν ἡ πόλις ἐνεκάλει*.

ἀπολοφύρεσθαι, deplorare, II, 46, 2, *ἀπολοφυράμενοι ὃν προσήκει ἕκαστος*.

ἀπολύειν, absolvere (*crimine*), I, 95, 5, *ἀπολύεται μὴ ἀδικεῖν*. *item* 128, 3. III, 39, 6, *μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε*. VI, 29, *εἰ μὲν τούτων τι εἴργα-*

στο, δίκην δοῦναι, εἰ δ' ἀπολυθείη, ἄρχειν. VIII, 33, 4, τῆς αἰτίας. — liberare, I, 70, 3, τῶν δεινῶν. II, 8, 6, τῆς ἀρχῆς. VII, 56, 2, φόβου.—dimittere (*captivum*), IV, 69, 3, ξυνέβησαν τοῖς Ἀθηναίοις ῥητοῦ ἕκαστον ἀργυρίου ἀπολυθῆναι.—ἀπολύεσθαι, divelli, dirimere se, I, 49, 3, ἐπειδὴ προςβάλλοιεν ἀλλήλοις, οὐ ῥᾳδίως ἀπελύοντο. VII, 44, 7, ἐς χεῖρας ἀλλήλοις ἐλθόντες, μόλις ἀπελύοντο. 63, ξυμπεσούσης νηὶ νεὼς, μὴ πρότερον ἀξιοῦν ἀπολύεσθαι, ἢ κτέ. Med. diluere (*culpam*), V, 75, 3, τὴν... ἐπιφερομένην αἰτίαν... ἑνὶ ἔργῳ τούτῳ ἀπελύσαντο. VIII, 87, βουλόμενος... ἀπολύεσθαι πρὸς αὐτοὺς τὰς διαβολάς.

ἀπομάχεσθαι, defendere se, I, 90, 3, ἕως ἂν τὸ τεῖχος ἱκανὸν αἴρωσιν, ὥςτε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους.

ἀπομιμνήσκεσθαι, memori animo referre (*gratiam*), I, 137, 2, ἔφη... πειθομένῳ αὐτῷ χάριν ἀπομνήσεσθαι ἀξίαν.

ἀπομισθοῦν, elocare, III, 68, 3, τὴν γῆν δημοσιώσαντες, ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη.

ἀπομνύναι, iure iurando promittere, V, 50, ἀπομόσαι ἐναντίον τῶν Ἑλλήνων ἦ μὴν ἀποδώσειν ὕστερον τὴν καταδίκην.

ἀπομονοῦσθαι, excludi, III, 28, τῆς ξυμβάσεως.

ἀπονενοημένος, desperatus, VII, 81, 5, ἀποκινδυνεύειν πρὸς ἀνθρώπους ἀπονενοημένους.

ἀπόνοια, desperatio, I, 82, 4, ἐς ἀπόνοιαν καταστήσαντες αὐτούς. VII, 67, 4, ἐς ἀπόνοιαν καθεστήκασιν.

ἀπονοστεῖν, reverti, VII, 87, 6, ὀλίγοι ἀπὸ πολλῶν ἐπ' οἴκου ἀπενόστησαν.

ἀπόνως, sine labore, I, 122, 2, δίχα ὄντας ἡμᾶς ἀπόνως χειρώσονται. II, 36, 2, κτησάμενοι... ὅσην ἔχομεν ἀρχὴν οὐκ ἀπόνως ἡμῖν... προςκατέλιπον. V, 91, 2, βουλόμενοι ἀπόνως ὑμῶν ἄρξαι. Comp. I, 11, 2, ἐν ἐλάσσονί τε χρόνῳ καὶ ἀπονώτερον τὴν Τροίαν εἷλον.

ἀποξηραίνειν, exsiccare, VII, 12, 5, καὶ ἀποξηρᾶναι [*Vat.* καὶ τὸ ξηρ.] τὰς σφετέρας (ναῦς) μᾶλλον ἐξουσία.

ἀπόπειρα, experimentum, VII, 21, 2, ἔφη χρῆναι... ναυμαχίας ἀπόπειραν λαμβάνειν.

ἀποπειρᾶν, tentare, experiri, II, 93, τοῦ Πειραιῶς. IV, 107, 2, κατὰ γῆν. 121, 2, τῆς Ποτιδαίας. *item* 135. VI, 90, 2, τῆς Καρχηδονίων ἀρχῆς καὶ αὐτῶν. VII, 17, 4, ναυμαχίας. 36, αὖθις ταῖς ναυσὶν ἀποπειρᾶσαι ἐβούλοντο. 43, τοῦ παρατειχίσματος. — Med. experiri, IV, 24, 3, ναυμαχίας ἀποπειρᾶσθαι ἐβούλοντο. [*pro* ἀναπειρᾶσθαι *vulgo* VII, 12, 5.]

ἀποπέμπειν, dimittere, I, 24, 7, ἀπράκτους. 26, 3, τοὺς οἰκήτορας. 102, μόνους τῶν ξυμμάχων. *Ib.* 4, ἔγνωσαν οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ ἀποπεμπόμενοι. 128, 6, τούτους, οὓς ἔλαβεν, ἀποπέμπει βασιλεῖ. *Ib.* 7. 144, 2. II, 12, 2, αὐτὸν πρὶν ἀκοῦσαι. III, 7, 3, τὰς πλείους... τῶν νεῶν πάλιν ἐπ' οἴκου. 35, 2, τῆς στρατιᾶς τὸ πλέον. IV, 41, 4, αὐτοὺς ἀπράκτους. 63, τοὺς ἐφεστῶτας πολεμίους ἐκ τῆς χώρας. V, 22, 2. 37, 6. 42, 2, χαλεπῶς πρὸς τοὺς πρέσβεις ἀποκρινάμενοι, ἀπέπεμψαν. 64, 3, τὸ ἕκτον μέρος σφῶν αὐτῶν... ἐπ' οἴκου. VII, 3, 2, οὐδὲν ἀποκρινάμενοι, ἀπέπεμψαν. 27, 2, αὐτοὺς πάλιν, ὅθεν ἦλθον, ἐς Θρᾴκην. 29, τοὺς Θρᾷκας. VIII, 71, 3, τους ἐπελθόντας... ἐπ' οἴκου. 86, 6. 8, ἐπαινέσας αὐτούς,... οὕτως ἀπέπεμπεν.—mittere, I, 62, 4, τοὺς Μακεδόνας ἱππέας... ἐπὶ Ὀλύνθου. II, 85, 5, εἴκοσι ναῦς αὐτῷ. III, 35, Σάλαιθον .. ἐς τὰς Ἀθήνας. 48, Μυτιληναίων οὓς Πάχης ἀπέπεμψε. 50. *Ib.* 2, κληρούχους. 75, 3, δείσαντες... μὴ ἐς τὰς Ἀθήνας ἀποπεμφθῶσι. 96, 2, τὴν λείαν ἐς Εὐπάλιον. 115, 4. IV, 134, σκῦλα ἐς Δελφούς. V, 3, 4, αὐτούς... ἐς τὰς Ἀθήνας. 46, 3, τοὺς πρέσβεις. 53, ὃ (θῦμα) δέον ἀπαγαγεῖν οὐκ ἀπέπεμπον. VII, 16, 2, τοῖς ἐν τῇ Σικελίᾳ... ἐπικουρίαν. 19, 4, πεντακοσίους ὁπλίτας. 31, 3. VIII, 7, ἄνδρας Σπαρτιάτας ἐς Κόρινθον τρεῖς. 39, 2, τὰς ναῦς ταύτας... ἐς τὸν Ἑλλήσποντον ὡς Φαρνάβαζον. 72, 2. 74, τὴν Πάραλον ναῦν... κατὰ τάχος ἐς τὰς Ἀθήνας. 107, 2, ἐς τὴν Εὔβοιαν... Ἱπποκράτην. Med. efficere, ut quispiam dimittatur, III, 4, 2, λόγους ἤδη προσέφερον τοῖς στρατηγοῖς, βουλόμενοι τὰς ναῦς τὸ παραυτίκα, εἰ δύναιντο, ὁμολογίᾳ τινὶ ἐπιεικεῖ ἀποπέμψασθαι.

ἀποπιμπλάναι, explere, VII, 68, ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον.

ἀποπίπτειν, decidere, IV, 4, 2, τὼ χεῖρε ἐς τοὐπίσω ξυμπλέκοντες, ὅπως μὴ ἀποπίπτοι (ὁ πηλός).

ἀποπλεῖν, classe proficisci, I, 52, 3, δεδιότες μὴ οἱ Ἀθηναῖοι ... οὐκ ἐῶσι σφᾶς ἀποπλεῖν. 55, ἐπ' οἴκου. 89, 2, ἐξ Ἑλλησπόντου. II, 33, 2, ἐπ' οἴκου. *item* 66, 2. 84, 4, ἐς Μολύκρειον. 94, 4. III, 7, 6. 75, 2, ὁ μέν, ταῦτα πράξας, ἔμελλεν ἀποπλεύσεσθαι. 79, 2, ἐς τὴν ἤπειρον. 80, 2. 85, ταῖς ναυσίν. 88, 4, ἐς τὸ Ῥήγιον. IV, 25, 2, διὰ τάχους. 45, 2, ταῖς ναυσίν... ἐπ' οἴκου. 48, 6, ἐς τὴν Σικελίαν. 56, ἐς Κύθηρα. 66, 2, αἱ νῆες τῶν Ἀθηναίων ἀπέπλευσαν ἐκ Σικελίας. V, 4, 6. 11, 3, ἐπ' οἴκου. VI, 47, οἴκαδε. 50. *Ib.* 5, ἐς Κατάνην. 52, 2. 53, ἐς ἀπολογίαν. *Ib.* 2. 61, 6, ἐκ τῆς Σικελίας ὡς ἐς τὰς Ἀθήνας. *Ib.* 7. 71, ἐς Κατάνην. *similiter* 72 *et* 94, 3. VII, 31, ἐπὶ [*vulgo* ἐκ] τῆς Κερκύρας. *Ib.* 3, ἐκ τῆς Σικελίας. 34, 7, ἐς τὴν Ναύπακτον.

Ib. 8. 50, 4. 72, πρὸς τὴν πόλιν. VIII, 8, 3. 19, 2, πάλιν. *Ib.* 4, ἐπὶ τῆς Σάμου. 20, ἐς Κεγχρειάς. *Ib.* 2. 23, 5, ἐς τὴν Χίον. 27, 4, ἐς Σάμον. *Ib.* 6, ἐκ τῆς Σάμου ἐπ' οἴκου. 31, 3, ἀνέμῳ μεγάλῳ... ἐς Φώκαιαν. *Ib.* 4, ἐς Φώκαιαν καὶ Κύμην ὡς Ἀστύοχον. 33, 4. 35, 4, ἐς τὴν Σάμον. 38, ἐν κέλητι. 43. 44, 3, ἐς Χάλκην. 62, 3, ἐς τὸ ἀντιπέρας τῆς Ἀβύδου. 63, 2, πάλιν ἐς τὴν Μίλητον. 79, 5, πάλιν ἐπὶ τῆς Μιλήτου. *Ib.* 6, πάλιν ἐς τὴν Σάμον. 85. *Ib.* 4, ἐς τὴν Λακεδαίμονα. 103, ἐς Ἄβυδον.

ἀπορεῖν, incertum esse, nescire quid consilii sit capiendum, I, 63, ἠπόρησεν ὁποτέρωσε διακινδυνεύσει χωρήσας. 107, 6, ὅπη διέλθωσι. II, 102, 6. III, 109, ὅτῳ τρόπῳ ἢ μένων πολιορκήσεται,... ἢ καὶ ἀναχωρῶν διασωθήσεται. IV, 13, 3, ὅπη καθορμίσωνται. 27. V, 40, 3, ἀποροῦντες ταῦτα οἱ Ἀργεῖοι. VI, 55, 3. 103, 4. VII, 48, τὰ μὲν ἀπορεῖν, τὰ δ' ἔτι ἀμηχανήσειν. 55, 2, τὰ πρὸ αὐτῶν. VIII, 11, 2. 61, ὅπως βοηθήσοι [*nonnulli codd.* βοηθήσει]. 80, ὁπόθεν... χρήματα ἕξουσι. — indigere, VI, 34, 5, μετ' ὀλίγων ἐφοδίων... περαιωθέντες, ἀποροῖεν ἂν κατὰ χωρία ἔρημα. 42, ὕδατος καὶ λιμένων καὶ τῶν ἐπιτηδείων. VII, 49, 3, χρημάτων. VIII, 46, 2. 57, πολλαῖς ναυσὶ τῆς τροφῆς. 81, 3.

ἀπορία, angustiae, difficultas, II, 81, 8, ἐς ἀπορίαν καθιστάντων. IV, 10, 5, τὰς τούτων ἀπορίας ἀντιπάλους ἡγοῦμαι τῷ ἡμετέρῳ πλήθει. 29, 2, κακοπαθοῦντες τοῦ χωρίου τῇ ἀπορίᾳ. 32, 3, ὅπως ὅτι πλείστη ἀπορία ᾖ τοῖς πολεμίοις. VI, 68, 4, τὴν παροῦσαν ἀνάγκην καὶ ἀπορίαν φοβερωτέραν ἡγησάμενοι τῶν πολεμίων. VII, 8, ὁρῶν καθ' ἡμέραν ἐπιδιδοῦσαν τήν τε τῶν πολεμίων ἰσχὺν καὶ τὴν σφετέραν ἀπορίαν. 44, ἐν πολλῇ ταραχῇ καὶ ἀπορίᾳ ἐγίγνοντο οἱ Ἀθηναῖοι. *Ib.* 6, ἀπορίαν παρεῖχε. 67, 4, βιαζόμενοι ὑπὸ τῆς παρούσης ἀπορίας. 75, 4, ἐς ἀπορίαν καθίστασαν. *Ibid.* δάκρυσι πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ. — inopia, penuria, I, 11, τῆς τροφῆς. *Ibid.* 123, οὐ δίκαιον, ἃ τῇ ἀπορίᾳ ἐκτήθη, τῇ περιουσίᾳ ἀπολέσθαι. 126, 9, σίτου τε καὶ ὕδατος. II, 49, 6, τοῦ μὴ ἡσυχάζειν. 51, 5, τοῦ θεραπεύσοντος. IV, 4, 2, ἀγγείων. 10, 4, τῆς προσορμίσεως. 26, 2, σίτου τε... καὶ ὕδατος. 69, 3, σίτου. VI, 33, 5, τῶν ἐπιτηδείων. 86, 3, φυλακῆς πόλεων μεγάλων. VII, 29, χρημάτων. *item* 48, 2 *et* 49. 60, 2, τῶν τε ἄλλων, καὶ ὅτι τὰ ἐπιτήδεια οὔτε αὐτίκα ἔτι εἶχον. 75, 5, ἀκολούθων. 80, τῶν ἐπιτηδείων πάντων. 83, 4, σίτου τε καὶ τῶν ἐπιτηδείων.

ἄπορος, omni consilio atque ope destitutus, II, 59, 2, πανταχόθεν τῇ γνώμῃ ἄποροι καθεστῶτες. *similiter* III, 53, 3. — inops,

I, 9, 2, πλήθει χρημάτων, ἃ ἦλθεν... ἔχων ἐς ἀνθρώπους ἀπόρους. [*pro* ἄπειρος *vulgo* I, 99, 3.] —quocum difficile est ad manus venire, IV, 32, 4, οἱ πολέμιοι... ψιλοί τε καὶ ἀπορώτατοι. —quod fere effici non potest, II, 77, νομίσαντες ἄπορον εἶναι... ἑλεῖν τὴν πόλιν. 102, 2, ὁ Ἀχελῷος ποταμὸς... ἄπορον ποιεῖ... ἐν χειμῶνι στρατεύειν. III, 16, 2, ἄπορα νομίζοντες. IV, 26, 7, ἄπορον ἐγίγνετο περιορμεῖν. 34, 2, ἄπορον ἦν ἰδεῖν τὰ πρὸ αὐτοῦ. VII, 73, 3, τοῖς ἄρχουσι ταῦτα λογιζομένοις ἐφαίνετο ἄπορα. VIII, 56, 4, ἄπορα νομίσαντες. Comp. IV, 65, 4, τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ ἀπορώτερα. V, 110, τῶν κρατούντων ἀπορώτερος ἡ λῆψις, ἢ τῶν λαθεῖν βουλομένων ἡ σωτηρία. Sup. VII, 14, 2, τούτων. δὲ πάντων ἀπορώτατον κτέ. — ἄπορον, difficultas, I, 52, 2, ὁρῶντες... σφίσι πολλὰ τὰ ἄπορα ξυμβεβηκότα. 136, 2, ἀναγκάζεται κατά τι ἄπορον παρὰ Ἄδμητον... καταλῦσαι. III, 82, 7, πρὸς τὸ ἄπορον. IV, 127, 2, προσιόντος αὐτοῦ ἐς αὐτὸ ἤδη τὸ ἄπορον τῆς ὁδοῦ. — ἐν ἀπόρῳ, ἐν τῷ ἀπόρῳ, in incerto, I, 25, ἐν ἀπόρῳ εἴχοντο θέσθαι τὸ παρόν. II, 62, 5, ἐλπίδι ἧσσον πιστεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς. III, 22, 6, ἐν ἀπόρῳ ἦσαν εἰκάσαι τὸ γιγνόμενον.

· ἀποῤῥηγνύναι, abrumpere, avellere, IV, 69, 4, τὰ μακρὰ τείχη... ἀπὸ τῆς τῶν Μεγαρέων πόλεως. V, 10, 8, τὸ εὐώνυμον κέρας... εὐθὺς ἀποῤῥαγὲν ἔφυγε.

ἀπορώτερον, periculosius, I, 82, 6, ὁρᾶτε ὅπως μὴ αἴσχιον καὶ ἀπορώτερον τῇ Πελοποννήσῳ πράξωμεν.

ἀποσαλεύειν, in salo navem tenere in ancoris, I, 137, 2, ἀποσαλεύσας ἡμέραν καὶ νύκτα ὑπὲρ στρατοπέδου.

ἀποσημαίνειν, obscure significare, IV, 27, 5, ἐς Νικίαν τον Νικηράτου... ἀπεσήμαινεν.

ἀποσιμοῦν, deflectere (*in transversum actis navibus*), IV, 25, 5, ἀποσιμωσάντων ἐκείνων, καὶ προεμβαλόντων.

ἀποσκίδνασθαι, dispergi, VI, 98, 3, οὗτοι (οἱ ἱππῆς)... ἐκώλυον τοὺς Ἀθηναίους λιθοφορεῖν τε καὶ ἀποσκίδνασθαι μακροτέραν [*vulgo* μακρότερον].

ἀποσπᾶσθαι, abstrahi, avelli, III, 81, 5, ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο. — distrahi, divelli, VII, 80, 4, τὸ Δημοσθένους (στράτευμα)... ἀπεσπάσθη τε καὶ ἀτακτότερον ἐχώρει.

ἀποσπεύδειν, contra niti, studiose impedire, VI, 29, 3, οἱ ἐχθροί... ἀπέτρεπον καὶ ἀπέσπευδον.

ἀπόστασις, defectio, I, 57, 4, τῆς Ποτιδαίας. *Ib.* 6, προκαταλαμβάνειν τῶν πόλεων τὰς ἀποστάσεις. 75, 4, αἱ ἀποστάσεις πρὸς ὑμᾶς ἐγίγνοντο. 99. 122, ξυμμάχων. III, 2, ἀπόστασιν... ποιή-

σασθαι. Ib. 1. 5, 4. 9, 2, *πρόφασις... τῆς ἀποστάσεως.* 13. *Ibid. ἐνομίζομεν ἀποστήσεσθαι διπλῆν ἀπόστασιν,, ἀπό τε τῶν Ἑλλήνων ... ἀπό τε Ἀθηναίων. Ib.* 2, *ἡ ἀπόστασις ἡμῶν θᾶσσον γεγένηται καὶ ἀπαράσκευος.* 35, *αἴτιος... τῆς ἀποστάσεως.* 36, 2, *ποιήσασθαι. Ibid.* 39, 2, *ἀπόστασις τῶν βίαιόν τι πασχόντων ἐστί.* 47, 3, *ὃς (δῆμος) οὔτε μετέσχε τῆς ἀποστάσεως.* 50. IV, 80. 122, 6. 130, 7, *αἰτίους... τῆς ἀποστάσεως.* VI, 5, 3. VIII, 5, *περὶ ἀποστάσεως τῶν Ἀθηναίων ἐπρεσβεύσαντο*, ab Atheniensibus. *Ib.* 2, *τοῖς Λεσβίοις παρεσκεύαζε τὴν ἀπόστασιν.* 23, 4. 6. 24, 5, *ποιήσασθαι.* 32, 3. 60. — abscessio, V, 81, *μετὰ τὴν τῶν Ἀργείων ἀπόστασιν ἐκ τῆς ξυμμαχίας.*

ἀποστατέον, absistendum, VIII, 2, *οὐκ ἀποστατέον ἔτι πολέμου.*

ἀποσταυροῦν, vallo claudere, IV, 69, 2, *κόπτοντες τὰ δένδρα καὶ ὕλην, ἀπεσταύρουν, εἴ πῃ δέοιτό τι.* VI, 101, 2, *αὖθις.* VII, 80, 6, *εὗρον... φυλακήν τινα τῶν Συρακοσίων ἀποτειχίζουσάν [τε] καὶ ἀποσταυροῦσαν τὸν πόρον.*

ἀποστέλλειν, remittere, IV, 50, 3, *τὸν Ἀρταφέρνην ὕστερον οἱ Ἀθηναῖοι ἀποστέλλουσι τριήρει ἐς Ἔφεσον.* VI, 65, *ἐπίστευσάν τε τῷ ἀνθρώπῳ... καὶ εὐθὺς... ἀπέστειλαν αὐτόν.* VIII, 53, *οἱ... πρέσβεις τῶν Ἀθηναίων ἀποσταλέντες ἐκ τῆς Σάμου.* 64, *τῶν πρέσβεων τοὺς ἡμίσεις ἀπέστελλον ἐπ' οἴκου.* — repellere, submovere, III, 89, 2, *ᾗ ἰσχυρότατος ὁ σεισμὸς ἐγένετο, κατὰ τοῦτο ἀποστέλλειν τὴν θάλασσαν.* VI, 2, 5, *τοὺς Σικανοὺς κρατοῦντες μάχῃ ἀπέστειλαν πρὸς τὰ μεσημβρινὰ καὶ ἑσπέρια αὐτῆς (τῆς νήσου).* — mittere, I, 32, 2, *Κερκυραῖοι... ἀπέστειλαν ἡμᾶς.* 45, *δέκα ναῦς αὐτοῖς... βοηθούς.* 57, 6, *τριάκοντα ναῦς... ἐπὶ τὴν γῆν αὐτοῦ.* 90, 3, *ἑαυτὸν ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θεμιστοκλῆς ἐς τὴν Λακεδαίμονα.* 91, 3. 129, *Ἀρτάβαζον... ἐπὶ θάλασσαν.* 137, *ἐπὶ τὴν ἑτέραν θάλασσαν.* II, 12, *Μελήσιππον... ἐς τὰς Ἀθήνας.* 23, 2, *τὰς ἑκατὸν ναῦς περὶ Πελοπόννησον.* 85, 2. 4, *αὐτῷ ναῦς ὅτι πλείστας.* III, 4, 5, *ἐς τὴν Λακεδαίμονα πρέσβεις.* 7, *ἐς Πελοπόννησον ναῦς... τριάκοντα.* 13, 2, *βοήθειαν.* 26, *τὰς... ναῦς.* 28, *πρεσβείαν... ἐς τὰς Ἀθήνας.* 49, 2, *τριήρη εὐθὺς ἄλλην... κατὰ σπουδήν.* 80, 2, *τὰς ... ναῦς.* 105, 4, *ἄγγελον... ἐς τὴν πόλιν.* 114, 4, *φυλακήν... ἐς τὴν Ἀμπρακίαν.* 115, 4. *Ibid.* IV, 2. 2, *τας τεσσαρακοντα ναῦς ἐς Σικελίαν.* 15, 2, *ἐς τὰς Ἀθήνας πρέσβεις.* 16, 2. 72, *διακοσίους καὶ δισχιλίους ὁπλίτας.* 80, 6, *Βρασίδαν.* 85, 7, *ἴσον πλῆθος ἐφ' ὑμᾶς.* V, 37, 5, *πρέσβεις... ἐς Ἄργος.* VI, 31, 3. 73, 2, *ἐς τὴν Κόρινθον ... πρέσβεις.* 74, 2, *τριήρη... ἐς τὰς Ἀθήνας ἐπί τε χρήματα καὶ*

ἱππέας. *similiter* 93, 4. VII, 1, 2. 2. 8. *ib.* 3, οἱ μὲν ᾤχοντο φέροντες, οὓς ἀπέστειλε, τὰ γράμματα. 17, 3, ὁπλίτας ἐς τὴν Σικελίαν. *similiter* 19, 3. 4. 20, 2, τὸν Δημοσθένην ἐς τὴν Σικελίαν. 46, ἐς Ἀκράγαντα... Σικανόν. VIII, 5, 3, στρατιάν. 7, τὰς ναῦς. 17, 2. 28, 6, Πεδάριτον... πεζῇ. 50, 6, αὖθις πρὸς τὸν Ἀστύοχον. 64, 2, Διοτρεφὴν... ἐπὶ τὴν ἀρχήν. 80, ὡς τὸν Φαρνάβαζον... Κλέαρχον. 90, πρέσβεις... ἐς τὴν Λακεδαίμονα. *ib.* 2. 106, 4, ἐς τὰς Ἀθήνας τριήρη ἄγγελον τῆς νίκης. Pass. IV, 16, 3, οἱ πρέσβεις ἀπεστάλησαν. VI, 6, 4, οἱ πρέσβεις... ἀπεστάλησαν ἐς τὴν Σικελίαν. 30, 2, ἐνθυμούμενοι ὅσον πλοῦν ἐκ τῆς σφετέρας ἀπεστέλλοντο. 88, 7, οἱ ἐς τὴν Κόρινθον... ἀποσταλέντες πρέσβεις. VII, 7, 3, πρέσβεις... ἐς Λακεδαίμονα καὶ Κόρινθον ἀπεστάλησαν. 50, τοὺς ἐκ τῆς Πελοποννήσου... ὁπλίτας ἀποσταλέντας. 58, 3, ἐξ Ἀρκαδίας μισθοφόροι ὑπὸ Κορινθίων ἀποσταλέντες.

ἀποστερεῖν, privare, I, 69, τοὺς ὑπ' ἐκείνων δεδουλωμένους ἐλευθερίας. 136, 3, ἐκεῖνον... σωτηρίας. Pass. III, 42, 4, ἡ πόλις ... φόβῳ ἀποστερεῖται τῶν ξυμβούλων. VI, 91, 7, τὰς τοῦ Λαυρίου τῶν ἀργυρείων μετάλλων προσόδους, καὶ ὅσα ἀπὸ γῆς καὶ δικαστηρίων νῦν ὠφελοῦνται, εὐθὺς ἀποστερήσονται, μάλιστα δὲ τῆς ἀπὸ τῶν ξυμμάχων προσόδου ἧσσον διαφορουμένης.— subtrahere, I, 40, 2, οὐ τοῖς ἐπὶ βλάβῃ ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη ἐστίν, ἀλλ' ὅστις μὴ ἄλλου ἑαυτὸν ἀποστερῶν, ἀσφαλείας δεῖται.— adimere facultatem, VII, 6, 4, ὥστε... ἐκείνους παντάπασιν ἀποστερηκέναι, εἰ καὶ κρατοῖεν, μὴ ἂν ἔτι σφᾶς ἀποτειχίσαι.

ἀποστέρησις, privatio, VII, 70, 6, τῆς ἀκοῆς ὧν οἱ κελευσταὶ φθέγγοιντο.

ἀποστολή, missio, VIII, 8, οὐδὲ τὰ χρήματα ἐδίδοσαν, ἃ ἦλθον ἔχοντες ἐς τὴν ἀποστολὴν (*subaud.* νεῶν). 9, 3, τῶν νεῶν.

ἀποστρέφειν, redire iubere, IV, 97, 2, ἀπαντᾷ κήρυκι Βοιωτῷ, ὃς αὐτὸν ἀποστρέψας κτέ. V, 75, 2, τοὺς ἀπὸ Κορίνθου καὶ ἔξω Ἰσθμοῦ ξυμμάχους. [*ubi vulgo* ἀπέτρεψαν.] VIII, 108, ἀγγέλλων ὅτι τὰς Φοινίσσας ναῦς ἀποστρέψειε [*vulgo* ἀποτρέψειε] Πελοποννησίοις ὥστε μὴ ἐλθεῖν.— reverti, VI, 65, 3, οἱ ἱππῆς... ἀποστρέψαντες ἀγγέλλουσι τοῖς πεζοῖς.— avertere (*a consilio s. incepto*), IV, 80, ἤλπιζον ἀποστρέψαι αὐτούς.

ἀποστροφή, receptus, refugium, IV, 76, 5, οὔσης ἑκάστοις διὰ βραχέος ἀποστροφῆς. VIII, 75, 3, νομίζοντες οὔτε ἐκείνοις ἀποστροφὴν σωτηρίας οὔτε σφίσιν εἶναι.

ἀποσύρειν, detrahere, VII, 43, 5, τὰς ἐπάλξεις.

ἀποσφάζειν, obtruncare, III, 32, τοὺς αἰχμαλώτους, οὓς κατὰ πλοῦν εἰλήφει, ἀπέσφαξε τοὺς πολλούς. VII, 86, 2.

ἀποτειχίζειν, obsepire, circummunire, I, 64, τὸ ἐκ τοῦ ἰσθμοῦ τεῖχος. *Ib.* 2, τὸ ἐκ τῆς Παλλήνης τεῖχος. III, 51, 3, τὸ ἐκ τῆς ἠπείρου. 94, 2, αὐτούς. IV, 130, 7, τοὺς ἐν τῇ ἀκροπόλει... ἑκατέρωθεν τείχει ἐς θάλασσαν. VI, 101, 2, μέχρι τῆς θαλάσσης. 103, τείχει διπλῷ τοὺς Συρακοσίους. VII, 4, ὅπως οἱ Ἀθηναῖοι... μηκέτι οἷοί τε ὦσιν ἀποτειχίσαι. 6, 4, σφᾶς. 78, 5, τὴν δίοδον. 79, 7, ἐκ τοῦ ὄπισθεν αὐτούς. 80, 6, τὸν πόρον. Pass. I, 65, ἀποτειχισθείσης αὐτῆς (τῆς Ποτιδαίας). VI, 96, νομίσαντες...οὐκ ἂν ῥᾳδίως σφᾶς... ἀποτειχισθῆναι. 104, ὡς ἤδη παντελῶς ἀποτετειχισμέναι αἱ Συράκουσαί εἰσι. *similiter* VII, 1. 42, 3, ἀποτετειχισμένοι ἂν ἦσαν. 79, πρὸς τὸν λόφον... τὸν ἀποτετειχισμένον. VIII, 26, 3, μὴ περιϊδεῖν (Μίλητον) ἀποτειχισθεῖσαν.

ἀποτείχισις, circummunitio, I, 65, 3, τῆς Ποτιδαίας.

ἀποτείχισμα, munitio (*qua circumvallatur*), VI, 99, ᾗπερ βραχύτατον ἐγίγνετο αὐτοῖς ἐκ τοῦ μεγάλου λιμένος ἐπὶ τὴν ἑτέραν θάλασσαν τὸ ἀποτείχισμα. VII, 79, εὗρον πρὸ ἑαυτῶν ὑπὲρ τοῦ ἀποτειχίσματος τὴν πεζὴν στρατιὰν παρατεταγμένην. [*pro* παρατείχισμα *vulgo* VII, 43.]

ἀποτελεῖσθαι, absolvi, perfici, IV, 69, 3, τὸ τεῖχος ὅσον οὐκ ἀπετετέλεστο. 90, 4, ὡς τὰ πλεῖστα ἀπετετέλεστο. [*activum pro* ἐπιτ. *vulgo* I, 108, 3.]

ἀποτέμνεσθαι, rescindere, auferre sibi, VIII, 46, 4, ἀποτεμόμενον ὡς μέγιστα ἀπὸ τῶν Ἀθηναίων.

ἀποτίθεσθαι, seponere, negligere, I, 77, 3, ἀποθέμενοι τὸν νόμον.

ἀποτολμᾶν, fortunae se committere, VII, 67.

ἀποτρέπειν, avertere, dehortari, III, 39, ὧν ἐγὼ πειρώμενος ἀποτρέπειν ὑμᾶς. 63, 2, ἡμᾶς ὑμῶν. VI, 8, 4. 18, 6. [*ubi vulgo* ἀποστρέψῃ.] 19, 2. 24, τοὺς Ἀθηναίους τῷ πλήθει τῶν πραγμάτων. 29, 3, οἱ ἐχθροί... ἀπέτρεπον καὶ ἀπέσπευδον. 38, 4, τῆς κακουργίας. 87, 3, μηθ' ὡς σωφρονισταί... ἀποτρέπειν πειρᾶσθε. VIII, 86, 5, τοὺς ἰδίᾳ τοῖς πρέσβεσιν ὀργιζομένους λοιδορῶν ἀπέτρεπεν. [*pro* ἀποστρ. *vulgo* V, 75, 2 *et* VIII, 108.] Med. averti, converti, reverti, I, 51, 2, οἱ Κορίνθιοι ἀποτρεπόμενοι [*vulgo* ἀποτραπ.] τὴν διάλυσιν ἐποιήσαντο. III, 24, 2, ἐς τὴν πόλιν. *Ib.* 3. 89, πάλιν. V, 13, ἐπ' οἴκου. VI, 65, 3, ξύμπαντες ἤδη ἀποτρεπόμενοι ἐβοήθουν ἐπὶ τὴν πόλιν. VII, 31, 5. VIII, 10, 2.— deterreri, I, 76, 2, οὐδείς... τοῦ μὴ πλέον ἔχειν ἀπετράπετο. II, 40, 3, ἐκ τῶν κινδύνων. III, 11,

ὁ παραβαίνειν τι βουλόμενος τῷ [*vulgo* τὸ] μὴ προέχων ἂν ἐπελθεῖν ἀποτρέπεται. IV, 59, 2, φόβῳ. — ἀποτετραμμένος, alienatus animo, III, 68, 4, σχεδόν τι καὶ τὸ ξύμπαν περὶ Πλαταιῶν οἱ Λακεδαιμόνιοι οὕτως ἀποτετραμμένοι ἐγένοντο Θηβαίων ἕνεκα.

ἀποτροπή, vis deterrendi, III, 45, 7, ἁπλῶς τε ἀδύνατον καὶ πολλῆς εὐηθείας, ὅςτις οἴεται, τῆς ἀνθρωπείας φύσεως ὁρμωμένης προθύμως τι πρᾶξαι, ἀποτροπήν τινα ἔχειν ἢ νόμων ἰσχύϊ, ἢ ἄλλῳ τῳ δεινῷ. — detrectatio, III, 82, 4, ἀσφαλείᾳ τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρόφασις εὔλογος.

ἀπουσία, absentia, I, 70, 4, οἴονται . . . τῇ ἀπουσίᾳ ἄν τι κτᾶσθαι. VI, 80, 2, τί ἄλλο ἢ τῇ αὐτῇ ἀπουσίᾳ τοῖς μὲν οὐκ ἠμύνατε σωθῆναι, τοὺς δὲ οὐκ ἐκωλύσατε κακοὺς γενέσθαι;

ἀποφαίνειν, designare, IV, 83, 5, καθαιρέτην ὧν ἂν αὐτὸς ἀποφαίνῃ πολεμίων. — demonstrare, confirmare, I, 133, τἄλλα . . . καθ' ἕκαστον, ὡς κτἑ. II, 13, 5, ἀπέφαινεν ἔχον τὸ ἄγαλμα τεσσαράκοντα τάλαντα σταθμὸν χρυσοῦ ἀπέφθου. *Ib.* 8, ἱππέας . . . διακοσίους καὶ χιλίους. 62, 2, ἐγὼ δὲ ἀποφαίνω δύο μερῶν τῶν ἐς χρῆσιν φανερῶν, γῆς καὶ θαλάσσης, τοῦ ἑτέρου ὑμᾶς παντὸς κυριωτάτους ὄντας. III, 38, τὰς Μυτιληναίων ἀδικίας ἡμῖν ὠφελίμους οὔσας. 39, Μυτιληναίους μάλιστα δὴ . . . ἠδικηκότας ὑμᾶς. 44, 2, πάνυ ἀδικοῦντας αὐτούς. 63, ὡς ὑμεῖς μᾶλλον ἠδικήκατε τοὺς Ἕλληνας. 64, 5, τοιαῦτα. 94, 4. IV, 3, 2, πολλὴν εὐπορίαν ξύλων τε καὶ λίθων, καὶ φύσει καρτερὸν ὂν καὶ ἔρημον (τὸ χωρίον). VI, 54, οὔτε τοὺς ἄλλους οὔτε αὐτοὺς Ἀθηναίους . . . ἀκριβὲς οὐδὲν λέγοντας. 77, τὴν τῶν Ἀθηναίων εὐκατηγόρητον οὖσαν πόλιν. 83, 3. VIII, 45, 6, τὸν Τισσαφέρνην ἀπέφαινε νῦν μὲν . . . εἰκότως φειδόμενον· ἢν δέ ποτε τροφὴ καταβῇ παρὰ βασιλέως, ἐντελῆ αὐτοῖς ἀποδώσειν τὸν μισθόν. 85, 2, τὸν Τισσαφέρνην . . . φθείροντα τῶν Πελοποννησίων τὰ πράγματα. — creare, VIII, 93, 2, τοὺς πεντακιςχιλίους. Med. dicere (*sententiam*), IV, 59, ἐς κοινὸν τὴν δοκοῦσάν μοι βελτίστην γνώμην . . . τῇ Σικελίᾳ πάσῃ.

ἀποφέρειν, auferre, V, 10, 8, πεσόντα αὐτὸν οἱ μὲν Ἀθηναῖοι οὐκ αἰσθάνονται, οἱ δὲ πλησίον ἄραντες ἀπήνεγκαν. — pendere (*tributum*), V, 31, 2, τάλαντον ἔταξαν τῷ Διὶ τῷ Ὀλυμπίῳ ἀποφέρειν. *Ib.* 3, καὶ μέχρι τοῦ Ἀττικοῦ πολέμου ἀπέφερον. Pass. deferri (*tempestate*), VI, 104, 2, ἁρπασθεὶς ὑπ' ἀνέμου . . . ἀποφέρεται ἐς τὸ πέλαγος. VII, 50, 2, ἐς Λιβύην. Med. asportare, IV, 97, 4, τὰ σφέτερα αὐτῶν. 99, τὰ σφέτερα.

ἀποφεύγειν, effugere, I, 114, ἐς Νίσαιαν. VII, 25, 4, ἐς τὰς Συρακούσας. 31. VIII, 35, 3, λαμβάνουσιν . . . ἓξ ναῦς· οἱ δ' ἄνδρες ἀποφεύγουσιν ἐς αὐτῶν. — *Transl.* III, 13, 7, τὴν αἰτίαν

ἀποφεύξεσθε, ἣν εἴχετε μὴ βοηθεῖν τοῖς ἀφισταμένοις. 70, 4, ὑπάγουσιν αὐτὸν... ἐς δίκην,... ὁ δὲ, ἀποφυγὼν, ἀνθυπάγει αὐτῶν τοὺς πλουσιωτάτους.

ἀποφθείρεσθαι, absumi, perire, II, 49, 6, ἢ διεφθείροντο ...ὑπὸ τοῦ ἐντὸς καύματος,... ἢ, εἰ διαφύγοιεν,... οἱ πολλοὶ δι' αὐτὴν (τὴν διάῤῥοιαν) ἀσθενείᾳ ἀπεφθείροντο.

ἀποφραγνύναι, obsepire, VII, 74, 2, τὰς ὁδούς. Med. praecludere, VIII, 104, 4, οἱ Ἀθηναῖοι γνόντες, ᾗ μὲν ἐβούλοντο ἀποφράξασθαι αὐτοὺς οἱ ἐναντίοι, ἀντεπεξῆγον, κτέ.

ἀποφυγή, effugium, VIII, 106, στενὸς ὢν ὁ Ἑλλήσποντος βραχείας τὰς ἀποφυγὰς τοῖς ἐναντίοις παρεῖχε.

ἀποχρῆσθαι, abuti, multum et libere uti, I, 68, 4, ἐπικαιρότατον χωρίον πρὸς τὰ ἐπὶ Θρᾴκης ἀποχρῆσθαι [*vulgo* ἐπιχρ.]. VI, 17, τῇ ἑκατέρου ἡμῶν ὠφελείᾳ. VII, 42, 3, τῇ παρούσῃ τοῦ στρατεύματος ἐκπλήξει. — conficere, interficere, III, 81, 2, ἐκ τῶν νεῶν ὅσους ἔπεισαν ἐςβῆναι ἐκβιβάζοντες ἀπεχρῶντο [*vulgo* ἀπεχώρησαν].

ἀποχρώντως, sufficienter, I, 21, εὑρῆσθαι ἡγησάμενος ἐκ τῶν ἐπιφανεστάτων σημείων, ὡς παλαιὰ εἶναι, ἀποχρώντως. VII, 77, 3, ἀποχρώντως ἤδη τετιμωρήμεθα.

ἀποχωλοῦσθαι, claudum fieri, VII, 27, 5, ἵπποι, ὁσημέραι ἐξελαυνόντων τῶν ἱππέων,... οἱ μὲν ἀπεχωλοῦντο, ἐν γῇ ἀποκρότῳ τε καὶ ξυνεχῶς ταλαιπωροῦντες, οἱ δ' ἐτιτρώσκοντο.

ἀποχωρεῖν, abscedere, discedere, I, 107, 2, πάλιν. 111, πάλιν... ἄπρακτοι. 112, ἀπὸ Κιτίου. *Ib.* 5. 113. II, 46, 2, ἀπολοφυράμενοι ὃν προςήκει ἕκαστος ἀποχωρεῖτε [*vulgo* ἄπιτε]. 72, 2. 79, 6, ὁπότε μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι ἐνεδίδοσαν, ἀποχωροῦσι [*vulgo* ἀναχ.] δὲ ἐνέκειντο. 89, 8, οὔτε ἂν ἀποχωρήσειεν ἐν δέοντι, πιεζόμενος. 94, 3, πάλιν ἐπὶ τῆς Κορίνθου. III, 13, 4, ἀπ' ἀμφοτέρων ἀποχωρήσονται. 103, 3. 109, 2, κατὰ τάχος. 111, θᾶσσον. 112, 8, ἐς Ἄργος. IV, 1, 4. 57, ἐς τὴν ἄνω πόλιν. 65, 3. 134, 2, ἐς Βουκολίωνα. V, 75. 111, οὐδ' ἀπὸ μιᾶς πώποτε πολιορκίας... δι' ἄλλων φόβον. VI, 2, ὅποι ἀπεχώρησαν. 68, 3, μὴ ῥᾳδίως. 95. 100, ἐς τὴν πόλιν. 101, 6. 102, 3, πάλιν. VII, 13, 2, κατὰ τὰς πόλεις. 41, 4. 52. 60, 2, πεζῇ ξυνταξάμενοι. 69, 3. 73 τῆς νυκτός. *Ib.* 3, καθ' ἡσυχίαν τῆς ἡμέρας. 75, 2. 78, 7, οὐκέτι ἀποχωρεῖν οἷόν τ' ἦν ὑπὸ [*vulgo* ἀπὸ] τῶν ἱππέων, longius a castris. VIII, 43, 4, ἀπ' αὐτῶν. 55, ἐς τὴν Χάλκην. [*pro* ἐπιχωρεῖν *vulgo* IV, 107, *pro* ὑποχωρεῖν VII, 70, 8.] — ἐπ' οἴκου, domum reverti, I, 87, 5. 89, 2. 106, 2. 111, 3. 112, 4. 114, 2. 145. II, 68, 9. IV, 25, 9. 74, 2. 130. VI, 7.

— transire (*ad hostes*), VII, 82, *κήρυγμα ποιοῦνται,... τῶν νησιωτῶν εἴ τις βούλεται ἐπ' ἐλευθερίᾳ ὡς σφᾶς ἀπιέναι· καὶ ἀπεχώρησάν τινες πόλεις οὐ πολλαί.* — discedere (*ex lite*), III, 42, 3, *εἰ μὲν ἀμαθίαν κατῃτιῶντο, ὁ μὴ πείσας ἀξυνετώτερος ἂν δόξας εἶναι ἢ ἀδικώτερος ἀπεχώρει.*

ἀποχώρησις, recessus, III, 109, 3, *τὴν ἀποχώρησιν κρύφα ... ἐπεβούλευον.* 113, 3. V, 73, 4, *ἡ φυγὴ καὶ ἀποχώρησις οὐ βίαιος οὐδὲ μακρὰ ἦν.* VII, 67, 4, *ἵνα... κατὰ γῆν... τὴν ἀποχώρησιν ποιῶνται.* VIII, 76, 7, *εἶναι αὐτοῖς... πολλὰς τὰς ἀποχωρήσεις, ἐν αἷς πόλεις καὶ γῆν εὑρήσουσι.*

ἀποψύχειν, exanimari, I, 134, 3, *μέλλοντος αὐτοῦ ἀποψύχειν, ὥςπερ εἶχεν, ἐν τῷ οἰκήματι.*

ἀπραγμόνως, sine labore, IV, 61, 8, *εἰρήνῃ διαφοραὶ ἀπραγμόνως παύονται.* VI, 87, 4, *ἀμφότεροι ἀναγκάζονται, ὁ μὲν ἄκων σωφρονεῖν, ὁ δ' ἀπραγμόνως σώζεσθαι.*

ἀπραγμοσύνη, otii studium, I, 32, 5, *ξυγγνώμη εἰ... τῇ πρότερον ἀπραγμοσύνῃ ἐναντία τολμῶμεν.* II, 63, 2, *εἴ τις καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται.* VI, 18, 6, *μὴ ὑμᾶς ἡ Νικίου τῶν λόγων ἀπραγμοσύνη... ἀποτρέψῃ.* *Ib.* 7, *παράπαν γιγνώσκω πόλιν μὴ ἀπράγμονα τάχιστ' ἄν μοι δοκεῖν ἀπραγμοσύνης μεταβολῇ διαφθαρῆναι.*

ἀπράγμων, negotiis vacuus, otii studiosus, I, 70, 7, *ἡγεῖσθαι... ξυμφορὰν οὐχ ἧσσον ἡσυχίαν ἀπράγμονα ἢ ἀσχολίαν ἐπίπονον.* II, 40, 2, *τὸν μηδὲν τῶνδε μετέχοντα οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν.* 64, 4, *ταῦτα ὁ μὲν ἀπράγμων μέμψαιτ' ἄν, ὁ δὲ δρᾶν τι βουλόμενος καὶ αὐτὸς, ζηλώσει.* VI, 18, 7, *πόλιν μὴ ἀπράγμονα.* — *ἄπραγμον*, otium, II, 63, 3, *τὸ ἄπραγμον οὐ σώζεται, μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον.*

ἄπρακτος, qui nihil impetravit, II, 59, 2, *πρέσβεις τινὰς πέμψαντες... ἄπρακτοι ἐγένοντο.* IV, 89. VI, 52, 2. — *ἀπιέναι*, re infecta discedere, III, 113, 6. IV, 61, 8. 99. V, 38, 4. 56, 5. VI, 85, 3. 86, 5. — *ἀναχωρεῖν*, IV, 22, 3. — *ἀποχωρεῖν*, I, 111. VIII, 43, 4. — *ἀποπέμπειν*, I, 24, 7. IV, 41, 4. — *ἀπωθεῖν*, VI, 33, 4, *ἢν... ἀπράκτους ὧν ἐφίενται ἀπώσωμεν.*

ἀπράκτως, re infecta, VI, 48, *ἀπελθεῖν.*

ἀπρεπής, indecorus, contumeliosus, II, 36, 4, *νομίζων... οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτά.* III, 57, *ἀπρεπές τι ἐπιγνῶναι.* 67, 4, *οἱ ἀπρεπές τι πάσχοντες.* V, 111, 4, *οὐκ ἀπρεπὲς νομιεῖτε πόλεως τῆς μεγίστης ἡσσᾶσθαι.* Sup. VII, 68, 2, *εἰ κατώρθωσαν, ἀνδράσι μὲν ἂν τὰ ἄλγιστα προςέθεσαν, παισὶ δὲ καὶ γυναιξὶ τὰ*

ἀπρεπέστατα. — ἀπρεπές, dedecus, status contumeliosus, V, 46, λέγων ἐν μὲν τῷ σφετέρῳ καλῷ, ἐν δὲ τῷ ἐκείνων ἀπρεπεῖ τὸν πόλεμον ἀναβάλλεσθαι. VI, 11, 6, τὸ σφέτερον ἀπρεπὲς εὖ θήσονται.

ἀπρόθυμος, segnis, IV, 86, 3, εἴ τις... ἀπρόθυμός ἐστι. VIII, 32, ἀπρόθυμοι ἦσαν διὰ τὸ πρότερον σφάλμα.

ἀπροςδόκητος, qui non exspectat, II, 33, 3, ἐπιθεμένων ἀπροςδοκήτοις [*vulgo* ἀπροςδοκήτως] τῶν Κρανίων. 93, 4, ἀπροςδοκήτοις ἐπιπεσόντες. IV, 72, 2, ἀπροςδοκήτοις ἐπιπεσόντες τοῖς ψιλοῖς. VI, 69, οἱ Συρακόσιοι ἀπροςδόκητοι... ἦσαν ὡς ἤδη μαχούμενοι. VII, 29, 3, ἀφυλάκτοις τε ἐπιπεσὼν, καὶ ἀπροςδοκήτοις μὴ ἄν ποτέ τινα σφίσιν... ἐπιθέσθαι. 39, 2, ὅπως... ἀπροςδοκήτοις τοῖς Ἀθηναίοις ἐπιχειρῶσιν. — inexspectatus, improvisus, II, 5, 4, ἀπροςδοκήτου κακοῦ... γενομένου. 91, 4, γενομένου τούτου ἀπροςδοκήτου τε καὶ παρὰ λόγον. III, 39, 4, εὐπραξία. IV, 103, 5, ἀπροςδόκητος προςπεσών. VII, 46, ἐπὶ ἀπροςδοκήτῳ εὐπραγίᾳ. VIII, 23, 3, ἔπλεον ἀπροςδόκητοι. — ἀπροςδόκητον, id quod improvisum est, II, 61, 3, δουλοῖ φρόνημα τὸ αἰφνίδιον καὶ ἀπροςδόκητον.

ἀπροςδοκήτως, ex improviso, IV, 29, 3, προςπίπτειν. VII, 21, 4, ἀντιστῆναι.

ἀπροφάσιστος, promptissimus, VI, 83, προθυμίαν ἀπροφάσιστον παρεσχόμεθα ἐς τοὺς Ἕλληνας.

ἀπροφασίστως, sine cunctatione, animo alacri, I, 49, 7, μᾶλλον ἤδη ἀπροφασίστως ἐπεκούρουν. III, 82, 6, τολμᾶν. VI, 72, 5, τἄλλα... παρασκευασθῆναι. VIII, 2, 4, ἅπτεσθαι... τοῦ πολέμου.

ἀπροφύλακτος, a quo praecavere nemo potest, IV, 55, πανταχόθεν σφᾶς περιεστῶτος πολέμου ταχέος καὶ ἀπροφυλάκτου.

ἅπτειν, accendere, II, 77, 4, τὴν ὕλην. IV, 100, 4, τοῦ τείχους. Pass. IV, 100, 4, ἄνθρακας ἡμμένους. 134, 2, λύχνον ... ἡμμένον. *Ibid.* ἔλαθεν ἀφθέντα πάντα καὶ καταφλεχθέντα. — Med. tangere, II, 49, 5, τὸ ἔξωθεν ἁπτομένῳ σῶμα οὐκ ἄγαν θερμὸν ἦν. — attingere, I, 118, 2, τῆς ξυμμαχίας αὐτῶν. II, 48, 2 (*de pestilentia*), τὸ πρῶτον ἐν τῷ Πειραιεῖ ἥψατο τῶν ἀνθρώπων. 50, τὰ ὄρνεα καὶ τετράποδα, ὅσα ἀνθρώπων ἅπτεται. VIII, 15, τὰ χίλια τάλαντα, ὧν διὰ παντὸς τοῦ πολέμου ἐγλίχοντο μὴ ἅψασθαι. — *Transl.* I, 97, 2, τούτων ὅςπερ καὶ ἥψατο ἐν τῇ Ἀττικῇ ξυγγραφῇ Ἑλλάνικος. — suscipere, capessere, animum adpellere ad, I, 78, 3, τῶν λόγων. II, 8, οὐκ ἀκουσίως... τοῦ πολέμου. 17, 4, τῶν πρὸς τὸν πόλεμον. V, 14, πολέμου μηδὲν ἔτι. 61, 2,

τοῦ πολέμου. VIII, 2, 4, ἀπροφασίστως... τοῦ πολέμου. 11, 3, τοῦ Ἰωνικοῦ πολέμου. 92, 4, τῶν πραγμάτων.

ἀπωθεῖν, deiicere, III, 23, τὰς ἐπάλξεις.—repellere, VI, 33, 4, ἀπράκτους ὧν ἐφίενται. Med. repellere (*a se*), reiicere, I, 18, 2, τὸν βάρβαρον. 32, 5, Κορινθίους. 35, 4, ἡμᾶς. 37, ἵνα... τὴν τῶνδε χρείαν μὴ ἀλογίστως ἀπώσησθε. 144, 4, τὸν βάρβαρον. II, 4, τὰς προςβολάς. 39, 3, πάντας... ἀπεῶσθαι. [*ubi dubitatur utrum pass. sit an med.; cf. Popp.adn.*] III, 39, 4, κακοπραγίαν... ῥᾷον ἀπωθοῦνται, ἢ εὐδαιμονίαν διασώζονται. 44, 4, τὸ χρήσιμον τοῦ ἐμοῦ (λόγου). 55, δεομένων ξυμμαχίας... ὑμεῖς ἀπεώσασθε. 67, 5, τοὺς ἀμείνους ξυμμάχους. V, 22, τῇ αὐτῇ προφάσει ἧπερ τὸ πρῶτον ἀπεώσαντο (τὰς σπονδάς). VI, 87, 5, ταύτην τὴν... ἀσφάλειαν. Pass. V, 45, μή... ἀπωσθῇ ἡ Ἀργείων ξυμμαχία. VIII, 100, 3, αὖθις ἔξω μάχῃ ἀπωσθέντες.

ἄπωθεν, procul, III, 111, προκεχωρηκότας ἤδη ἄπωθεν τῆς Ὄλπης. IV, 67, 2, ὃ ἐστιν ἔλασσον ἄπωθεν. 92, 4, μὴ τοὺς ἐγγύς, ἀλλὰ καὶ τοὺς ἄπωθεν. 115, 3, τοὺς μὲν ἐγγὺς... οἱ δὲ ἄπωθεν. 120, 2, ἄπωθεν ἐφεπόμενος. 125, ἄπωθεν πολὺ ἀλλήλων ἐστρατοπεδεύοντο. 126, 6, ἄπωθεν ἀπειλαῖς τὸ ἀνδρεῖον... ἐπικομποῦσι. VI, 7, 2, αὐλισαμένου τοῦ στρατεύματος ἄπωθεν. 58, ἄπωθεν ὄντας. 77, 2, τοῦ ἄπωθεν ξυνοίκου προαπολλυμένου. VIII, 69, 2, μὴ ἐπ' αὐτοῖς τοῖς ὅπλοις, ἀλλ' ἄπωθεν, περιμένειν.

ἄπωσις, repulsio, VII, 34, 6, τῶν ναυαγίων κρατησάντων τῶν Ἀθηναίων διὰ τὴν τοῦ ἀνέμου ἄπωσιν αὐτῶν ἐς τὸ πέλαγος.

ἀργός, incultus, II, 17, τὸ Πελασγικὸν ἀργὸν ἄμεινον.—iners, inefficax, III, 82, 4, τὸ πρὸς ἅπαν ξυνετὸν, ἐπὶ πᾶν ἀργόν. VII, 67, 3, ἐν ὀλίγῳ πολλαὶ (νῆες) ἀργότεραι ἐς τὸ δρᾶν τι ὧν βούλονται ἔσονται.

ἀργύρεια μέταλλα, argenti fodinae, II, 55, μέχρι Λαυρίου, οὗ τὰ ἀργύρεια μέταλλά ἐστιν Ἀθηναίοις. VI, 91, 7, τὰς τοῦ Λαυρίου τῶν ἀργυρείων μετάλλων προςόδους [*in utroq. loco nonnulli codd.* ἀργύρεα.]

ἀργύριον, argentum, pecunia, I, 27, οἱ τἀργύριον [*vulgo* τὸ ἀ.] καταβάλλοντες. II, 7, 2, ἀργύριον ῥητὸν ἑτοιμάζειν. 13, 3, ἀργυρίου ἐπισήμου ἑξακιςχιλίων ταλάντων. *Ib.* 4, χρυσίου ἀσήμου καὶ ἀργυρίου... πεντακοσίων ταλάντων. 70, 3, ἀργύριον ῥητὸν ἔχοντας ἐφόδιον. 97, 3, φόρος... τετρακοσίων ταλάντων ἀργυρίου μάλιστα δύναμις, ἃ χρυσὸς καὶ ἄργυρος εἴη. III, 50, 2, ἀργύριον... ταξάμενοι τοῦ κλήρου ἑκάστου... δύο μνᾶς φέρειν. IV, 26, 5, τάξαντες ἀργυρίου πολλοῦ. 65, ἀργύριον τακτὸν...

ἀποδοῦσιν. 69, 3, ῥητοῦ... ἀργυρίου ἀπολυθῆναι. 116, 2, τριάκοντα μνᾶς ἀργυρίου. V, 49, 5, τὸ αὐτῶν μέρος... τοῦ ἀργυρίου. VI, 8, ἑξήκοντα τάλαντα ἀσήμου ἀργυρίου. 24, 3, ἀργύριον οἴσειν. 60, 4, ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι. 94, 4, τάλαντα ἀργυρίου τριακόσια. VIII, 16, 2, εἴκοσι καὶ ἑκατὸν τάλαντα ἀργυρίου. 82, 3, τὸ ἀργύριον ὃ εἶχον ἅπαν κατέθεσαν. VIII, 76, 6, ἀργύριον ... πέμπειν.

ἀργυρολογεῖν, coactiones argentarias facere, II, 69, ἔστειλαν... ἑτέρας ἓξ (ναῦς) ἐπὶ Καρίας καὶ Λυκίας,... ὅπως ταῦτα ἀργυρολογῶσιν. III, 19, 2, ὁ δὲ ἄλλα τε ἠργυρολόγει καὶ περιέπλει, κτέ. VIII, 3, τὰ τῶν ξυμμάχων... ἐς τὸ ναυτικόν.

ἀργυρολόγος ναῦς, navis ad cogendas pecunias missa, III, 19, ἐξέπεμψαν καὶ ἐπὶ τοὺς ξυμμάχους ἀργυρολόγους ναῦς δώδεκα. IV, 50, τῶν ἀργυρολόγων νεῶν Ἀθηναίων στρατηγός. 75, οἱ τῶν ἀργυρολόγων Ἀθηναίων στρατηγοί.

ἄργυρος, argentum, I, 129, 3, μηδὲ χρυσοῦ καὶ ἀργύρου δαπάνῃ κεκωλύσθω. II, 97, 3, τετρακοσίων ταλάντων ἀργυρίου μάλιστα δύναμις, ἃ χρυσὸς καὶ ἄργυρος εἴη. *Ibid.* δῶρα... χρυσοῦ τε καὶ ἀργύρου. VI, 34, 2, χρυσὸν καὶ ἄργυρον πλεῖστον κέκτηνται.

ἀργυροῦς, argenteus, V, 16, 2 (*Dor.*), ἀργυρέᾳ εὐλάκᾳ εὐλάξειν. VI, 32, ἐκπώμασι χρυσοῖς τε καὶ ἀργυροῖς. 46, 3, φιάλας τε καὶ οἰνοχόας καὶ θυμιατήρια,... ὄντα ἀργυρᾶ. *Ibid.* ἐκπώματα καὶ χρυσᾶ καὶ ἀργυρᾶ.

ἀρέσκειν, placere, I, 38, 4, δῆλον ὅτι εἰ τοῖς πλέοσιν ἀρέσκοντές ἐσμεν, τοῖσδ' ἂν μόνοις οὐκ ὀρθῶς ἀπαρέσκοιμεν. 128, 7, εἴ τί σε τούτων ἀρέσκει. III, 34, 3, ἣν μηδὲν ἀρέσκον λέγῃ. IV, 113, οἷς ταῦτα ἤρεσκε. 121, οἷς πρότερον μὴ ἤρεσκε τὰ πρασσόμενα. V, 37, 3, τοῖς τῶν Βοιωτῶν πρέσβεσιν ἀκούουσιν ἤρεσκε. 41, 3, ἣν ἀρέσκοντα ᾖ. 85, εἰ ἀρέσκει ὡς λέγομεν. VI, 24, 4, εἴ τῳ... μὴ ἤρεσκε. VII, 49, 3, οὐδενὶ τρόπῳ οἱ ἔφη ἀρέσκειν ἐν τῷ αὐτῷ ἔτι μένειν. VIII, 43, 2, εἴ τι μὴ ἤρεσκεν αὐτοῖς. 48, 4, Φρυνίχῳ... οὐδὲν ἤρεσκε. *Ib.* 7, οὔκουν ἑαυτῷ γε τῶν... πρασσομένων ἀρέσκειν οὐδέν. 53, 3, ἤν τι μὴ ἀρέσκῃ. [ἀρέσκει *vulgo pro* ἀρκέσει II, 72.]

—Pass. acquiescere in, probare, I, 35, 2, ἐξεῖναι παρ' ὁποτέρους ἂν ἀρέσκηται ἐλθεῖν. 129, 3, τοῖς λόγοις τοῖς ἀπὸ σοῦ ἀρέσκομαι. II, 68, 3, οὐκ ἀρεσκόμενος τῇ ἐν Ἄργει καταστάσει. V, 4, 4, αὐτῶν τινες, διὰ τὸ μὴ ἀρέσκεσθαι, ἀπολιπόντες ἐκ τῶν Συρακουσῶν, κτέ 37, 4, οἱ Βοιωτάρχαι ἠρέσκοντο. VIII, 84, 5, ὁ Λίχας οὔτε ἠρέσκετο αὐτοῖς (τοῖς πράγμασι).

